# SCHOLIA VETERA IN CHOEPHOROS

| | |
|---|---|
| 12 | πρέπουcα] κοcμηθεῖcα. |
| 13b | νέον] ἀντὶ πῆμα νέον ‹***›. |
| 21a | προcτροπῇ] ἱκέτιc πρόcοδοc. |
| 22 | ἰαλτὸc] ὑπὸ Κλυταιμήcτραc πεμφθεῖcα. ἐπεὶ προΐαλλε cυβώτηc. |
| 23a | cυνκύπτωι] ἀντὶ κοπετῶι. |
| 23b | cυνκύπτωι] ὅπωc ἐναγίζουcα κόψωμαι καὶ θρηνήcω. |
| 24 | πρέπει] διαφαίνεται. |
| 25 | ἄλοκι] αὔλακι, τομῆι. |
| 26 | βόcκεται] ἀντὶ τοῦ τρέφομαι τῶι θρήνωι. |
| 27-31 | ‹λινοφθόροι ... πεπληγμένων›] τὸ ἑξῆc· οἱ δὲ cτολιcμοὶ τῶν ὑφαcμάτων πρὸc τοῖc cτέρνοιc λινοφθόροι λακίδεc ἐρράγηcαν. |
| 27 | ‹λινοφθόροι›] τὰ λίνα διαφθείρουcαι. |
| 29 | ὑπ᾽ ἄλγεcι] ἀντὶ ὑπὸ τῶν κοπετῶν. |
| 32a | τορὸc] cαφήc. |
| 32b | ‹ὀρθότριξ›] ὀρθοῦcθαι ποιῶν τὰc τρίχαc. |
| 33a | ἐξ ὕπνου] ἀντὶ τοῦ δι᾽ ὕπνου. |
| 33b | ‹ὀνειρόμαντιc›] δι᾽ ὀνείρων τοῖc δόμοιc μαντευόμενοc. |
| 34 | ἀωρόνυκτον] κατὰ τὸ μεcονύκτιον. |
| 35a | ‹μυχόθεν›] ἐκ τῶν τῆc καρδίαc μυχῶν. |
| 35b | περὶ φόβωι] περιccῶc τῶι φόβωι. |
| 35c | ‹ἔλακε›] ἀναλακεῖν καὶ βοῆcαι τὴν Κλυταιμήcτραν ἐποίηcεν ὁ cαφὴc Φοῖβοc δι᾽ ὀνείρων μαντευόμενοc. |
| 36 | γυναικείοιcιν ἐν δώ(μαcιν)· οἱονεὶ τοῖc ἐcτερημένοιc τοῦ κουριδίου ἀνδρόc. |
| 39a | ὑπέγγυοι] ἀληθεῖc, θεοφόρητοι. |
| 39b | ὑπέγγυοι· τὴν ἀπόφαcιν ἐγγυώμενοι ἢ ἐκ θεῶν ἠcφαλιcμένοι τὴν μαντείαν. |
| 40 | περιθύμωc] ὑπερβαλλόντωc. |
| 41 | ‹τοῖc κτανοῦcι›] τοῖc ὀργιζομένοιc νεκροῖc ἄχαριν ἢ ἐμοὶ ἀηδῶc ὑπηρετούcηι αὐτῆι. |
| 44 | ‹ἰὼ γαῖα μαῖα›] ὦ γῆ μήτηρ· τοῦτο δὲ διὰ μέcου ἀναπεφώνηται. |
| 45 | μωμένα] ζητοῦcα. |
| 46 | ‹δύcθεοc γυνά›] δεῖ νοεῖν ὅτι τὸ δύcθεοc γυνὰ ἠρέμα πωc ἐφθέγξατο. διό φηcι φοβοῦμαι δ᾽ ἔποc τόδ᾽ ἐκβάλλειν. |
| 51 | ‹ἀνήλιοι›] οὓc οὐδὲ ἥλιοc ἐπίδοι διὰ τὸ Ἀγαμέμνονοc μύcοc. |
| 55 | ‹cέβαc δ᾽ ἄμαχον›] ἑκούcιον cέβαc· τὸ μὴ ἐκ φόβου ἀλλὰ ἐξ αἰδοῦc αὐτοῖc γινόμενον. τοῦτο δὲ θέλει εἰπεῖν ὅτι ἡ αἰδώc, ἣν περὶ Ἀγαμέμνονοc εἶχον οἱ δῆμοι, νῦν ειc φόβον ἐτράπη. ἐκεῖνον γὰρ ᾐδοῦντο καὶ ἐφίλουν, τοῦτον δὲ φοβοῦνται ὡc τύραννον διατελούμενον. |
| 56 | ‹δι᾽ ὤτων›] φιλοῦντεc γὰρ αὐτὸν οὐδὲ ἀκούειν ἠνείχοντο κατ᾽ αὐτοῦ. |
| 57 | δαμίαc] τῆc δημοcίαc, τῆc τοῦ δήμου. |
| 58 | φοβεῖται] ἀντὶ τοῦ ἕκαcτοc φοβεῖται φθέγξαcθαι. |
| 60 | γνωμικῶc. |
| 61-66 | ‹ῥοπὴ ... νύξ›] ἡ δὲ τῆc δίκηc ῥοπὴ τοὺc μὲν ἐπιcκοπεῖ ταχέωc καὶ ἀμύνεται, ἄλλοιc δὲ ἐν ἀμφιβόλωι ἐᾶι τὴν τιμωρίαν οὐκ ἀθρόωc αὐτοὺc ἀμυνομένη, ὥcτε τοὺc ἠδικημένουc ὑπ᾽ αὐτῶν λυπεῖcθαι, ἄλλουc δὲ cκότοc καλύπτει, ὡc μηδ᾽ ὁρᾶcθαι ὑπ᾽ αὐτῆc· ὅμωc ὁ φόνοc πέπηγεν καὶ οὐ διαρρεῖ, ἀλλ᾽ ἐπέξειcιν ἑαυτόν. |
| 62a | τοῖc μὲν] ἀντὶ τοὺc μέν. |
| 62b | ‹ἐν φάει›] φανερῶc. |
| 63 | ‹τὰ δ᾽›] ὅcα δὲ ὑπερτίθεται, ταῦτα cύν τε μεγάλωι ἀπέτιcαν. |
| 64 | βρύει] ἀνθεῖ. |
| 65 | ‹ἄκραντοc ... νύξ›] ἀντὶ αἰώνιοc θάνατοc. |
| 66 | δι᾽ αἵματ᾽] διὰ τὰ αἵματα. |
| 67a | τίταc] ὁ τιμωρόc. |
| 67b | οὐ διαρρύδαν] ἀντὶ οὐ διαρρέων. |
| 68a | ‹διαλγὴc ἄτη›] ἡ διαιωνίζουcα ἄτη, τουτέcτιν ὁ φόνοc. |
| 68b | διαφέρει] διαcπαράccει. |
| 69a | παναρκέταc· τῆc ειc πάντα τὸν χρόνον ἀρκούcηc αὐτῶι. |
| 69b | ‹βρύειν›] λείπει τὸ ὥcτε. |
| 70 | ‹τοὺc δ᾽ ... νύξ›] τοῦτο ὥcπερ ἐπαιδόμενόν ἐcτι. |
| 71a | νυμφικῶν ἑδω(λίων)· τὸ γυναικεῖον αἰδοῖον λέγει. |
| 71b | ‹θιγόντι›] ὥcπερ τῶι ἐπιβάντι νυμφικῆc κλίνηc οὐκ ἔcτιν ἴαcιc πρὸc ἀναπαρθένευcιν τῆc κόρηc, οὕτωc οὐδὲ τῶι φονεῖ πάρεcτι πόροc πρὸc ἄκεcιν τοῦ φόνου. |
| 72 | ‹ἐκ μιᾶc ὁδοῦ›] πάντεc οἱ ποταμοὶ ειc ἓν cυνερχόμενοι. |

74 ‹ἰοῦcαν ἄτην›] ἀντὶ τῆc ἐπιούcηc αὐτῶι ἄτηc. Ἀττικὸν δὲ τὸ πρὸc αἰτιατικὴν cυντάccειν, καθαίρω cε τὸν φόνον· τὸ δὲ κοινόν, καθαίρω cε τοῦ φόνου.

75-81 ‹ἐμοὶ ... κρατούcηι›] τὸ ἑξῆc· ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενά ἐcτιν ἀπ᾽ ἀρχῆc βίου τὰ τῶν βίαι με φερομένων αἰνέcαι πικρὸν φρενῶν cτύγοc κρατούcηι· ἀνάγκην γάρ μοι οἱ θεοὶ προcήνεγκαν, ‹ὅ ἐcτι πόλεμον›.

75 ἀμφίπτολιν. τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην [ὅ ἐcτι πόλεμον], ὡc ἀμφιμάτοραc κόρουc φηcὶ ὁ Εὐριπίδηc· ἐκ διαφόρων γὰρ πόλεων ἦcαν οἱ Ελληνεc.

78 μὴ δίκαια] εἴτε δικαίωc εἴτε μή. ἔcτι δὲ παροιμ(ία)· δοῦλε δεcποτῶν ἄκουε καὶ δίκαια κἄδικα.

79-81 πρέποντ᾽ ἀρχὰc βίου· πρέποντά μοί ἐcτι καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανήιρημαι τὸν βίον, τὰ τῶν πρὸc βίαν κεκτημένων ἐπαινέcαι, καλυπτούcηι τὴν κατ᾽ αὐτῶν ἀποcτύγηcιν καὶ μηδὲ παρρηcίαι τὸν δεcπότην κλαιούcηι.

80-81 ‹πικρὸν ... cτύγοc›] τουτέcτι μὴ ἐκφαινούcηι τὸ μῖcοc τὸ κατὰ Κλυταιμήcτραc.

81-82 ‹ματαίοιcι ... τύχαιc›] ἐπὶ ματαίαιc τύχαιc.

84 εὐθήμονεc· τουτέcτιν ὑπηρέτιδεc εὖ τιθεῖcαι τὰ κατὰ τὸν οἶκον.

87 κηδείουc] cυγγενικάc.

88 ‹εὔφρον᾽›] λείπει λόγον.

91 τῶνδ᾽] τῶν λόγων.

92 πέλανον] πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦcιν.

94 τάδε] ἀντὶ τοῦ τὰc χοάc.

95 ‹τῶν κακῶν›] παρ᾽ ὑπόνοιαν· ἔδει γὰρ τῶν καλῶν εἰπεῖν.

97 ‹γάποτον χύcιν›] ἐπεξηγήcατο τί εἰcιν ἃ φέρει διὰ τοῦ γάποτον χύcιν.

98a cτείχω καθάρματ᾽ ὥcτιc ἐκπέ(μψαc)· τοῦτο πρὸc τὸ παρ᾽ Ἀθηναίοιc ἔθοc, ὅτι καθαίροντεc οἰκίαν ὀcτρακίνωι θυμιατηρίωι ῥίψαντεc ἐν ταῖc τριόδοιc τὸ ὄcτρακον ἀμεταcτρεπτεὶ ἀνεχώρουν.

98b πάλιν· εἰc τοὐπίcω ἀναχωρήcω.

98-99 ἀcτρόφοιcιν ὄμμα(cιν)· τὸ ἑξῆc οὕτωc· δικοῦcα τεῦχοc ἀcτρόφοιcιν ὄμμαcι cτείχω πάλιν, καθάρματα ὥc τιc ἐκπέμψαc.

99 δικοῦcα] πρὸc τὸν Ἀθήνηcιν νόμον.

100a ἔcτε] γίνεcθε· ἀναδέξαcθε τὴν αἰτίαν τῆc βουλῆc.

100b μεταίτιαι] ἀντὶ τοῦ cύμβουλοι.

102 ‹κεύθετ᾽›] τὴν βουλήν.

103 ‹τὸ μόρcιμον›] ἀντὶ τοῦ οὐδὲν πείcεcθε παρὰ τὸ μόρcιμον.

105 ‹τῶνδ᾽›] τῶν ὑπ᾽ ἐμοῦ ἀνωτέρω λελεγμένων.

107 ‹λέξω›] λέξω cοι τὸν ἐκ φρενὸc λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονοc τύμβον ὡc βωμόν.

109 ‹φθέγγου›] χέουcα τὰc χοὰc εὖξαι ἀγαθὰ τοῖc εὖ φρονοῦcι, τῶι Ἀγαμέμνονι δηλονότι.

110a ‹τούτουc›] τοὺc εὖ φρονοῦνταc αὐτῶι.

110b προcεννέπω] ὀνομάcω.

111 ‹αὑτὴν›] cεαυτὴν κἀκεῖνον δηλονότι, ὅcτιc Αἴγιcθον cτυγεῖ.

113 ‹φράcαι›] cὺ cκόπηcον τίc cτυγεῖ Αἴγιcθον· οὐκ ἐμὸν γὰρ εἰπεῖν.

114 ‹τῆιδε ... cτάcει›] τῆι cυcτάcει ἡμῶν.

120 ‹δικαcτὴν ἢ δικηφόρον›] κριτὴν ἢ τιμωρόν· ὅ ἐcτιν ἀκουcόμενον τοῦ πράγματοc, ἢ πρὸ ἀκοῆc τὴν τιμωρίαν ἐπάξοντα ὡc ἀναμφιβόλου ὄντοc τοῦ κακοῦ.

122 καὶ ταῦτα] καὶ τὸ ταῦτα εἰπεῖν παρὰ θεῶν ὅcιά μοι κρίνεται;

126 ‹ἐπιcκόπουc›] νῦν τί ἐπιcκόπουc;

128 ‹θρέψαcα›] θρέψαcα ἡ γῆ τὸν cπόρον τοῖc ἐπιοῦcι καρποῖc ἀπ᾽ αὐτοῦ κύημα λαμβάνει.

131a πῶc· ἵνα.

131b πῶc] ἀντὶ τοῦ ὅπωc.

131c ἀνάξομεν] βαcιλεύcομεν.

132 πεπραγμένοι] νενικημένοι, κατηγωνιcμένοι.

135 ἀντίδουλοc· ἰcόδουλοc, ἐν δούληc τάξει.

136 ὑπερκόπωc] ὑπερηφάνωc.

137 ‹χλίουcιν›] τρυφῶcιν.

142 ‹τοῖc δ᾽ ἐναντίοιc›] τοῖc δὲ ἐχθροῖc cου λέγω cε φανῆναι τιμωρόν.

145 ‹ἐν μέcωι›] ἐν κεφαλαίωι, ἐν ὑποθέcει τίθημι.

147 ἴcθι] ἀντὶ τοῦ ἔcο.

150 ‹ἐπανθίζειν›] cτέφειν ὡc ἄνθεcιν.

151 ‹παιᾶνα›] ‹cημείωcαι› ὅτι ἐπὶ ἀποθανόντοc παιᾶνα εἶπεν καθὼc καὶ Εὐριπίδηc· παιᾶνα τῶι κάτωθεν ἀcπόνδωι θεῶι.

152a καναχὲc] ἠχητικόν.

152b ‹καναχὲc›] καναχηδὸν δακρύετε.

154a ἔρυμα] τὸν τάφον.

154b ‹πρὸc ἔρυμα τόδε›] τὸ ἑξῆc· ἐκκεχυμένων χοᾶν πρὸc ἔρυμα τόδε ἵετε δάκρυ ἄγοc ἀπεύχετον–τὸ δάκρυ γὰρ ἀπευκτὸν ἄγοc εἶπεν–ἀπότροπον τῶν ἡμετέρων κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν.

157 ‹ἀμαυρᾶc›] τῆc ἀcθενοῦc ὡc πρὸc cύγκριcιν Ἠλέκτραc ἢ ὅτι cκιὰ οἱ νεκροί.

161 ‹δόμων›] τῶν ἐν τοῖϲ δόμοιϲ κακῶν.
162a ‹ἐν ἔργωι … πιπάλλων›] cὺν ἔργωι πάλλων· ὅ ἐϲτι μὴ μόνον φέρων ἀλλὰ ‹καὶ› πράττων.
162b ‹ἐν ἔργωι›] ἐν τῶι ἔργωι, ἐν τῶι βάλλειν.
163a αὐτόκωπ(α)· τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη· cχέδια δὲ ἐκ τοῦ cχεδὸν φονεύοντα καὶ οὐ πόρρωθεν ὥϲπερ τὰ βέλη.
163b ‹cχέδια›] [γρ(άφεται)] ἕτοιμα.
165 ‹τῶν ἄνω τε καὶ κάτω›] ὡϲ ἐν μέϲωι ἱδρυμένων.
167 ‹ὀρχεῖται›] λίαν κινεῖται.
173 ‹ἐχθροὶ›] λείπει τὸ εἰϲίν.
174a ὅδε· ὁ πλόκαμοϲ.
174b ‹ὁμόπτεροϲ›] ϲυγγενήϲ.
183 ‹κλυδώνιον›] κίνηϲιϲ τῆϲ χολῆϲ τῆϲ κατ' αὐτήν.
184 ‹βέλει›] ὡϲ βέλει ἐκρούϲθην ἐξ ἐναντίαϲ τιτρώϲκοντι.
185 ‹δίψιοι›] ποθειναί μοι ‹ἢ› πρώην ἄρρευϲτοι, ὡϲ δίψιον Αργοϲ τὸ ποτὲ ἄνυδρον.
190 ‹οὐδαμῶϲ ἐπώνυμον›] οὐκ ἄξιον τοῦ ὀνομάζεϲθαι ὑπὸ τῶν τέκνων ἑαυτῆϲ μήτηρ.
191 ‹φρόνημα›] τὸ δύϲθεον φρόνημα οὐδαμῶϲ ἐπώνυμον μητρὸϲ πεπαμένη.
192 ‹ἐγὼ δ'›] λείπει οὐκ ἔχω.
194 ‹cαίνομαι›] παραμυθοῦμαι.
195 εἶχε φωνὴν] ὁ πλόκαμοϲ δηλονότι.
196a δίφροντιϲ] διχογνώμων.
196b ‹'κινυϲϲόμην›] ἐφανταζόμην· κίνυγμα γὰρ τὸ εἴδωλον.
197a εὖ· ἀντὶ τοῦ ἀκριβῶϲ.
197b ἀποπτύϲαι] μιϲῆϲαι.
200 ‹ἄγαλμα›] λείπει ἡ εἰϲ.
202a ‹ναυτίλων δίκην›] τρόπωι ναυτῶν.
202b ‹δίκηι›] ‹ϲημείωϲαι› ὅτι κατὰ δοτικὴν δίκηι.
203 ‹εἰ δὲ χρὴ›] ἀντὶ τοῦ εἰ Ὀρέϲτου ἐϲτὶν ὁ πλόκαμοϲ, γένοιτ' ἂν ἐκ μικρᾶϲ προφάϲεωϲ μέγα ἀγαθόν.
205a ‹καὶ μὴν›] τὸ ἑξῆϲ· καὶ μὴν δεύτερον τεκμήριον.
205b ‹ϲτίβοι›] οἱ ἐν τῆι γῆι τύποι τῶν ποδῶν.
206 ‹τοῖϲ τ' ἐμοῖϲιν ἐμφερεῖϲ›] ἐπειδὴ ἄδηλον τίϲιν ὅμοιοι, ἐπήγαγε τοῖϲ γ' ἐμοῖϲιν ἐμφερεῖϲ.
209 ‹τενόντων›] τὴν εἰϲ μῆκοϲ τῶν ποδῶν ἔκταϲιν τένοντάϲ φηϲιν.
211 ‹ὠδὶϲ›] ἀλγηδὼν καὶ λύπη καὶ ὥϲπερ ὠδίνω τὰ παρόντα.
214 ‹ἐπεὶ τί … κυρῶ›] ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνοϲ γὰρ ἤδη ἐπέτυχον ἀπὸ θεῶν ὅτι εἶπεϲ τὰ λοιπά;
217 ‹ἐκπαγλουμένην›] ἐκπάγλωϲ θαυμάζουϲαν.
218 ‹τυγχάνω›] ἐπέτυχον.
225 ‹δυϲμαθεῖϲ›] ἀπιϲτεῖϲ.
226 ‹κηδείου›] τῆϲ ἐπὶ κηδείαι τετμημένηϲ.
229 ‹ϲυμμέτρου›] παραπληϲίου.
231 ‹ὕφαϲμα›] οὐ πάντωϲ ἐν τῶι νῦν χιτῶνι, ἀλλ' εἰκὸϲ αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν ϲπάργανον.
232 ‹θήρειον γραφήν›] παρὰ τὸ ἐν προτέροιϲι πόδεϲϲι κύων ἔχε.
236 ‹δακρυτὸϲ›] ἢ ὅτι παρ' ἐλπίδαϲ ὤφθη ἢ ὅτι φανεὶϲ δάκρυα αὐτῆι ἐκίνηϲεν.
239 ‹δ'›] ὁ δὲ ἀντὶ τοῦ γάρ.
240-241 ‹τὸ μητρὸϲ … ἐχθαίρεται›] ἐν ϲοὶ ὁρῶ μητέρα ϲτεργομένην, αὕτη δὲ ἀπέχθεταί μοι.
242 ‹τῆϲ ὁμοϲπόρου›] ἀπὸ κοινοῦ τὸ εἰϲ ϲέ μοι ϲτέργηθρον.
246 θεωρὸϲ] θεατήϲ.
247 ‹γένναν›] ἡμᾶϲ δηλονότι.
249 ‹τοὺϲ ἀπωρφανιϲμένουϲ›] ἀντὶ τοῦ ἡμᾶϲ.
250 ‹οὐ γὰρ ἐντελεῖϲ›] οὐκέτι γέννα ἐντελὴϲ ὥϲτε τὴν πατρώιαν θήραν προϲάγειν τῆι καλιᾶι.
256 ‹πόθεν›] ἐὰν ἀποκτείνει ἡμᾶϲ.
257 ‹εὔθοινον›] εὔθυνον διὰ τοῦ υ τὸ δίκαιον ϲημ(αίνει), διὰ δὲ τῆϲ οι καλὴν εὐωχίαν ἔχον γέραϲ, παρὰ τὴν θοίνην.
258 ‹αἰετοῦ γένεθλ'›] ὅϲ τέ οἱ αὐτῶι φίλτατοϲ οἰωνῶν.
261 ‹ἀρήξει›] ἀντὶ ἐπιμελήϲεται τῶν βωμῶν.
262-263 ‹κόμιζ'›] καθ' ἑαυτὸ ἀντὶ τοῦ ϲῶζε ἡμᾶϲ. δύναϲαι γὰρ ἀπὸ ϲμικρᾶϲ αἰτίαϲ ἀνοικοδομῆϲαι τὸν πεϲόντα δόμον.
266 ‹ἀπαγγελεῖ›] μὴ δυνάμενοϲ ἐχεμυθεῖν.
268a ἐν κηκῖδι] ἐν ἀναδόϲει φλογὸϲ ἰϲχυρᾶι.
268b ‹πιϲϲήρει›] καιόμενα γὰρ τὰ ξύλα πίϲϲαν ἀνίηϲιν.
271 ‹ἐξορθιάζων›] ἀνατεταμένα βοῶν.
275 ‹ταυρούμενον›] ἢ ἐμὲ ζημίαν μεμφόμενον ἢ Αἴγιϲθον τὸν μὴ ζημιωθέντα ποινὴν ἐπὶ τῶι φόνωι τοῦ πατρόϲ.

276 αὐτόν· τὸν Ἀγαμέμνονα ἔφασκε τελεσιουργεῖν.

278-290 ‹τὰ μὲν ... λυμανθὲν δέμας›] τοὺς μὲν γὰρ πολίτας λοιμώξειν ἐκ γῆς ἔφασκεν πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος ὡς μὴ ἐκδικήσαντας, ἡμᾶς δὲ σωματικῶς φθαρῆναι.

278 ‹δυσφρόνων μειλίγματα›] τῶν ἐχθρῶν μειλίγματα· αἱ κολάσεις γὰρ τῶν ἀδικούντων μειλίγματά εἰσι τῶν ἀδικηθέντων.

281 ‹ἀρχαίαν φύσιν›] τὴν ὑγιᾶ καὶ ἐξ ἀρχῆς οὖσαν ἡμῖν.

282a ‹λευκὰς δὲ κόρσας›] ἢ μέχρι γήρως ἀτυχήσομεν ἢ παραυτὰ γηράσομεν. παρὰ τὸ αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγη(ράσκουσιν).

282b κόρσας] τρίχας.

285 ‹ὁρῶντα›] τὸν ἐν σκότωι νῦν κινοῦντα τὴν ὀφρῦν λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν.

286 ‹τὸ ... βέλος›] ἡ νόσος.

287 ‹ἐκ προστροπαίων›] ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.

290 ‹λυμανθὲν δέμας›] λυμανθέντα.

292 ‹εἶναι μετασχεῖν›] ἀπὸ κοινοῦ τὸ ἔφασκεν.

294 ‹συλλύειν›] συγκαταλύειν, συνοικεῖν.

296 ‹ταριχευθέντα›] καὶ ὁ Σώφρων· τὸ γῆρας ἄμμε μαραῖνον ταριχεύει.

297 ‹τοιοῖσδε ... πεποιθέναι›] κατὰ ἀπόφασιν ἀναγνωστέον.

298 ‹κεἰ μὴ πέποιθα›] καὶ εἰ μὴ διὰ τοὺς χρησμοὺς ἀλλὰ διὰ τὰ ἄλλα.

304 ‹δυοῖν γυναικοῖν›] ὑπὸ Αἰγίσθου καὶ Κλυταιμήστρας.

307 ‹τῆιδε›] τούτωι τῶι τρόπωι εἴη ἀποβῆναι.

308a ἧι] καθάπερ.

308b μεταβαίνει] ἐπινεύει.

309 ‹ἀντὶ μὲν ἐχθρᾶς ... ἐχθρὰ›] τοῦτο προστάσσει ἡ δίκη· ἀντὶ λοιδορίας γὰρ λοιδορίαν, ἀντὶ πληγῆς πληγήν.

313 ‹τινέτω›] ὁ φονεύσας.

315 ‹αἰνόπατερ›] δεινὰ παθών.

317 ‹ἕκαθεν οὐρίσας›] μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον, ὅ ἐστιν ἀπὸ Φωκίδος ἐλθών. ἄλλως· πόρρωθέν σου ἀφοριζόμενος. σὺ μὲν γὰρ ἐν σκότωι, ἐγὼ δὲ ἐν τῶι φωτί.

319-322 ‹σκότωι ... Ἀτρείδαις›] ἐναντίον μὲν τὸ φῶς τῶι σκότωι, τουτέστι πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων. ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς ὁμοίως χάριτες κέκληνται.

320 ‹χάριτες›] χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον.

322a προσθοδόμοι· ἱκέται.

322b ‹προσθοδόμοις›] τοῖς πρότερον ἐσχηκόσι δόμον. νῦν γὰρ οὐκ εἰσὶ δόμοι· φροῦδα γὰρ τάδ᾽ ἤδη.

324 ‹οὐ δαμάζει›] τουτέστιν οὐ συναναλίσκεται τῶι σώματι ἡ ψυχικὴ δύναμις.

325 ‹ἡ μαλερὰ γνάθος›] ἡ γνάθος συνήθης ὡς ὁ κρημνὸς λέγει Πίνδ(αρος) καὶ ἡ ἠχὼ Σιμωνί(δης).

326 ὀργὰς] ἣν ἔχει ὀργὴν ἡ ψυχὴ ὕστερον φανεροποιεῖ.

327 ‹ὀτοτύζεται›] δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνῆσαι.

330a ‹ματεύει›] ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή· ζητεῖ γὰρ παντελῶς ταρασσομένη τὴν ἐκδίκησιν.

330b ματεύει] ζητεῖ τὸ ἀντιτιμωρεῖσθαι.

331 ἀμφιλαφὴς] ἀντὶ τοῦ πολύς.

332a ἔξω.

332b μέρει] κατὰ διαδοχὴν ὡς καὶ τοῦ ἀδελφοῦ.

334 ἔσω.

336 ‹ἱκέτας›] ἱκέτην μὲν ἐμέ, φυγάδα δὲ Ὀρέστην. πληθυντικῶς δὲ ἑκάτερον εἶπεν ἀντὶ ἑνικοῦ.

339 οὐκ ἀτρίακτος] οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν· ἀπὸ τῶν παλαιστῶν οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων.

340 ‹θεὸς χρήιζων›] ὁ χρησμωιδῶν Ἀπόλλων.

344a νεοκρᾶτα· κρατῆρα νεοκρήτου τ᾽ εἰσεπιλειβομένης.

344b ‹νεοκρᾶτα›] Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. οἱ δὲ νεκροκρᾶτα, τὴν ἐπὶ νεκρῶι σπονδήν.

344c ‹νεοκρᾶτα›] νεωστὶ κεκραμένον· λείπει κρατῆρα.

345 ἔξω.

349 κελεύθοις] ταῖς προσόδοις.

350 ‹ἐπιστρεπτὸν›] ‹ζηλωτὸν› ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ἡμῶν.

351 ‹πολύχωστον›] [ζηλωτὸν καὶ] ὑπὸ πολλῶν κεχωσμένον.

353a ‹δώμασιν›] ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας.

353b εὐφόρητον] τάφον εὐτυχῆ· φορὰ γὰρ ἡ τύχη.

354a ἔσω.

354b ‹φίλος›] πρὸς τὸ πολύχωστον εἶχες τάφον ἀπέδωκεν ὁ χορός.

359 ‹τυράννων›] Πλούτωνος καὶ Περσεφόνης.

361 ‹μόριμον λάχος›] τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων.

362 ‹βάκτρον›] [τὸ] τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίαι διατάττον.

363-364 ‹μηδ᾽ ... φθίμενος›] γυναικικῶς οὐδὲ τούτωι ἀρέσκεται, ἀλλὰ τῶι μηδὲ τὴν ἀρχὴν ἀνηιρῆσθαι.

364 ‹πάτερ›] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν πατέρα αὐτοῦ.

| | |
|---|---|
| 366 | ‹τεθάφθαι›] λείπει τὸ ὤφειλεϲ. |
| 368a | τοῖϲ ἐκείνων. |
| 368b | ‹δαμῆναι›] λείπει τὸ ὄφελον. |
| 370a | ‹πρόϲω›] πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα. |
| 370b | ‹τινὰ›] ἐμέ. |
| 373a | ὑπερβορέου] ὑπερορίου. |
| 373b | ὑπερβορέου τύχηϲ· τῆϲ ἄγαν πνεούϲηϲ. |
| 374 | ‹μείζονα φωνεῖϲ›] ῥάιδιον γὰρ τὸ εὔχεϲθαι. |
| 375-376 | ‹διπλῆϲ ... ἱκνεῖται›] διπλῆι μάϲτιγι ἐπλήγημεν. |
| 375 | μαράγνηϲ] μάϲτιγοϲ. |
| 376 | ‹τῶν μὲν ἀρωγοὶ›] ἡμῶν οἱ ϲύμμαχοι οἱ περὶ Ἀγαμέμνονα. |
| 378 | ‹ϲτυγερῶν τούτων›] τοῦτο ἰδίαι ἀναπεφώνηται τῶν ἄγαν ϲτυγερῶν τούτων. τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονοϲ τοῖϲ παιϲὶν αὐτοῦ ϲυμβέβηκεν, πρὸϲ ὃ ἐπάγει Ἠλέκτρα ὅτι ὡϲ βέλοϲ μου ὁ λόγοϲ οὗτοϲ ἥψατο. |
| 383 | ἄτην] τὴν Ἐρινύν. |
| 384-385 | ‹τλάμονι ... χειρί›] τῆι χειρὶ Κλυταιμήϲτραϲ καὶ Αἰγίϲθου. |
| 385 | τελεῖται] ἵνα τὸ ὅμοιον καὶ ἴϲον τῶι πατρί μου φυλαχθῆι. |
| 386 | ‹πευκήεντ᾽›] πανηγυρικόν, λαμπρόν. |
| 389-390 | ‹θεῖον ... ποτᾶται›] ὅμωϲ τὸ εἱμαρμένον περιίπταται πάνταϲ καὶ οὐκ ἂν ἐπιβουλευθείην παρὰ τὸ μοιρίδιον. |
| 390 | ‹πρώιραϲ›] τῆϲ ὄψεώϲ μου. |
| 392 | ἔγκοτον ϲτύγοϲ] ὀργίλον μῖϲοϲ. |
| 394 | ἀμφιθαλῆϲ] ὁ ποιήϲων ἄμφω ἡμᾶϲ ἀναθηλῆϲαι. |
| 395 | βάλοι] τοῖϲ ἐχθροῖϲ. |
| 396a | ‹κάρανα›] τὰ τοῦ οἴκου ἄκρα· λέγει δὲ τοὺϲ περὶ Αἴγιϲθον. |
| 397 | ‹πιϲτὰ›] καὶ γένοιτο πιϲτὰ τῆι χώραι ὅτι ϲὺ τούτων αἴτιοϲ. |
| 398 | ‹ἀπαιτῶ›] λείπει λαβεῖν. |
| 399 | ‹τιμαί›] αἱ Ἐρινύεϲ ‹αἱ› παρὰ τῶν χθονίων θεῶν τετιμημέναι. |
| 403-404 | ‹ἄτην ... ἐπ᾽ ἄτηι›] τὸ ἑξῆϲ· ἄτην ἑτέραν ἐπάγουϲαν λοιγὸν ἐπ᾽ ἄτηι. |
| 403a | βοᾶι· διὰ βοῆϲ ἐφέλκεται. |
| 403b | ‹τῶν πρότερον›] τοῦ Ἀγαμέμνονοϲ. |
| 405 | ‹νερτέρων τυραννίδεϲ›] ἀντὶ τοῦ οἱ κατὰ γῆϲ θεοί. |
| 406 | ‹ἀραὶ›] ἀνειδωλοποιεῖ τὰϲ ἀράϲ. |
| 407 | ‹τὰ λοίπ᾽›] ἡμᾶϲ τοὺϲ ὑπολοίπουϲ τῶν Ἀτρείδων. |
| 408 | ‹δωμάτων ἄτιμα›] ἀπεϲπαϲμένουϲ καὶ φυγαδευθένταϲ τῶν οἴκων. |
| 411 | ‹κλύουϲαν›] ἀντὶ τοῦ κλυούϲηι. |
| 412 | ‹καὶ τότε›] ὅτε ϲε οἰκτιζόμενον ἴδω, Ὀρέϲτα. |
| 413 | κελαινοῦται] ταράϲϲεται. |
| 414 | κλυούϲαι] ἀκουούϲηι τὸν ἀπὸ ϲοῦ λόγον. |
| 415 | ἐπαλκὲϲ] ἰϲχυροποιόν. |
| 417 | ‹πρὸϲ τὸ ... καλῶϲ›] πρὸϲ τὸ καλά μοι ἐννοεῖν. |
| 418-419 | ‹τί δ᾽ ἂν φάντεϲ›] τί δεινὸν εἰπόντεϲ κατὰ Κλυταιμήϲτραϲ τύχοιμεν τῆϲ ϲῆϲ ϲυμμαχίαϲ, ὦ πάτερ; ἢ ἃ πεπόνθαμεν; |
| 420a | πάρεϲτι] τῆι μητρὶ τὸν Ἀγαμέμνονα. |
| 420b | τάδ᾽] τὰ ἄχη. |
| 421a | ‹ἄϲαντοϲ›] ἀκολάκευτοϲ. |
| 422 | ‹θυμόϲ›] ὁ τοῦ Ἀγαμέμνονοϲ. |
| 423 | ‹Αριον›] Περϲικόν. |
| 425 | ‹ἀπρικτόπληκτα›] παρὰ τὸ ἀπρίξ, πλήϲϲοντα ἀπρίξ. |
| 426a | ‹πολυπάλακτα›] ἀλλεπάλληλον κτύπον ποιοῦντα. |
| 426b | ὀρέγματα] τύμματα. |
| 427 | ‹κτύπωι›] τῶι ἄνωθεν ἐπαγομένωι τῆι κεφαλῆι κτύπωι. |
| 428 | ‹κρότητον ... κάρα›] κωμωιδ(εῖται) ὡϲ διθύραμβοϲ. |
| 438 | ‹ἔπειτ᾽ ... ὀλοίμαν›] ἐκ τούτου εἴρηται τὸ τεθναίην ὅτ᾽ ἐκεῖνον ἀποπνεύϲαντα πυθοίμην Καλλιμάχου. |
| 440-442 | ἔπραϲϲε] κατεϲκεύαϲε δὲ τὸ μαϲχαλιϲθῆναι αὐτὸν ἡ Κλυταιμήϲτρα, ἡ καὶ οὕτωϲ ἀτίμωϲ αὐτὸν θάψαϲα, δυϲτυχίαν μεγίϲτην καταϲκευάζουϲα τῶι ϲῶι βίωι, ὦ Ὀρέϲτα, ὅ ἐϲτιν ἵνα δυϲτυχῆ βίον ζήϲηιϲ, τοῦ Ἀγαμέμνονοϲ μὴ δυναμένου ϲοι ϲυμμαχῆϲαι πρὸϲ τὴν τιμωρίαν Κλυταιμήϲτραϲ. |
| 443 | ‹δυϲατίμουϲ›] τοὺϲ τοῦ πατρόϲ ϲου. |
| 446 | ἄφερκτοϲ] κατάκλειϲτοϲ παρὰ τὴν εἱρκτήν. |
| 447 | ‹ἑτοιμότερα›] οὐδέποτε οὕτωϲ ἑτοίμωϲ ἐγέλαϲα ὡϲ τότε ἑτοίμωϲ ἐδάκρυϲα. |
| 448 | λίβη] τὰ δάκρυα. |
| 449 | κεκρυμμένα] πρὸϲ τὸ ἄφερκτοϲ. |

| | |
|---|---|
| 450 | ‹γράφου›] πρὸϲ τὸν Ὀρέϲτην φηϲίν. |
| 452a | τέτραινε] διατόρει, διακόμιζε. |
| 452b | ‹ἡϲύχωι φρονῶν βάϲει›] ἠρεμαίαι τῆι ψυχῆι, ἀντὶ τοῦ προϲέχων καὶ μὴ ἀποπλανώμενοϲ. |
| 453 | ‹τὰ μὲν γὰρ›] ταῦτα [δὲ] τὰ ϲυμβάντα Ἀγαμέμνονι. |
| 454a | αὐτόϲ· τουτέϲτιν ‹Ἀγαμέμνων›· ἐπιθυμεῖ δὲ τὰ λοιπὰ γνῶναι ὁ πατήρ, τουτέϲτι τὴν τιμωρίαν. |
| 454b | μαθεῖν] ἀντὶ μάθε τῶι τρόπωι ϲου. |
| 455 | ‹πρέπει›] πρέπει δέ ϲοι ἀμετακινήτωι δυνάμει ὁρμᾶν κατ᾿ αὐτῶν. |
| 456 | ξυγγενοῦ] ϲύμπραξον. |
| 457 | κεκλαυμένα] ἐλεεινά. |
| 458-459 | ‹ϲτάϲιϲ ... ἐπιρροθεῖ›] ἐπιβοᾶι ϲε ἡ ϲύϲταϲιϲ ἡμῶν ἡ κοινὴ βοηθὸν ἐλθεῖν. |
| 460 | ‹πρὸϲ ἐχθρούϲ›] ἀντὶ ‹κατὰ› ἐχθρῶν. |
| 461 | ‹Αρηϲ Αρει›] ὁ ἡμῶν τῶι τῶν ἐχθρῶν. |
| 464-465 | ‹μένει πάλαι›] πέπηγε μὲν καὶ ὥριϲται πάλαι ὑπὸ Μοιρῶν τὸ τὴν Κλυταιμήϲτραν ἀνδροκτονήϲαϲαν ἀναιρεθῆναι· τὸ κατ᾿ αὐτῆϲ δὲ καλῶϲ κυρωθὲν ὑπὸ τῆϲ δίκηϲ ἔλθοι, ὅ ἐϲτι μὴ μελλήϲηι πρὸϲ τιμωρίαν Κλυταιμήϲτραϲ τὸ θεῖον. |
| 465 | εὐχομένοιϲ] τὸ κατ᾿ εὐχὴν ἡμῖν πληρωθείη. |
| 466 | ‹ἐγγενὴϲ›] ϲυγγενήϲ· ὅτι ὑπὸ ϲυγγενῶν ἐπάθομεν. |
| 467 | παράμουϲοϲ] ἐκτὸϲ τοῦ καθήκοντοϲ. |
| 469 | ἄφερτα] ἀφόρητα. |
| 471 | ἔμμοτον] ἔνουλον ἢ βαθύτατον. |
| 474 | ‹ἔριν›] ἣν ἤριϲε πρὸϲ τὸν πατέρα. |
| 475 | ὅδ᾿ ὕμνοϲ] ταῦτα τὰ ἄιϲματα τοῖϲ κατὰ γῆϲ θεοῖϲ πρέπει καὶ οὐ τοῖϲ οὐρανίοιϲ. |
| 479 | ‹τρόποιϲιν οὐ τυραννικοῖϲ›] οὐχ ὡϲ βαϲιλεῖ πρέπει, ἀλλ᾿ ἀδόξωϲ. |
| 482 | ‹φυγεῖν›] ὥϲτε φυγεῖν τὰϲ ἐπιβουλὰϲ Αἰγίϲθου τιμωρηϲαμένην αὐτόν. |
| 483-485 | ‹οὕτω γὰρ›] οὕτω γὰρ ἄν ϲοι κρατήϲαντεϲ πολυτελῶϲ θύϲοιμεν. ἔννομοι δὲ αἱ νόμιμοι θυϲίαι, αἱ πολυτελεῖϲ. |
| 484a | κτιζοίατ᾿] γίγνοιντο. |
| 484b | εἰ δὲ μή· οὕτωϲ τὸ ἑξῆϲ· ἄτιμοϲ ἐν πυροῖϲι κνιϲωτοῖϲ ἔϲηι παρ᾿ εὐδείπνοιϲ χθονόϲ, ὅ ἐϲτι παρὰ κατοιχομένοιϲ δείπνωι τιμωμένοιϲ. |
| 484c | ‹εἰ δὲ μὴ›] τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγιϲμῶν ϲὺ ἄτιμοϲ ἔϲηι. |
| 486 | ‹παγκληρίαϲ›] κτήϲεωϲ. |
| 487 | ‹οἴϲω›] εἰ γὰρ Αἴγιϲθοϲ ἀπολεῖται, κἀγὼ γαμηθήϲομαι. |
| 488 | πρεϲβεύϲω] τιμήϲω. |
| 489 | ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόϲωπα Ὀρέϲτου καὶ Ἠλέκτραϲ. πρῶτον δὲ Ὀρέϲτου. |
| 491 | ‹οἷϲ ἐνοϲφίϲθηϲ›] οἷϲ ἀπέθανεϲ. |
| 493a | ‹πέδαιϲ δ᾿ ἀχαλκεύτοιϲ›] ἀϲιδήροιϲ δεϲμοῖϲ· λέγει δὲ τῆι ἀδιεξοδεύτωι ἐϲθῆτι. |
| 493b | ‹πέδαιϲ δ᾿ ἀχαλκεύτοιϲ›] ἐπιβουλευτοῖϲ πέπλοιϲ. |
| 497-498 | ‹ἤτοι δίκην ... λαβεῖν›] ἢ τὴν δίκην ϲυμμαχοῦϲαν ἡμῖν κατ᾿ αὐτῶν πέμψον ἢ ϲὺ κόλαϲον αὐτούϲ. |
| 498a | ἀντίδοϲ] ἀντίλαβε. |
| 504 | ‹οὐδέπερ θανών›] ἐὰν ἡμεῖϲ ὦμεν. |
| 505a | κληδόνεϲ ϲωτήριοι] διὰ φήμηϲ ϲώζοιέν ϲε. |
| 505b | ‹κληδόνεϲ›] εὐφημίαι. |
| 506a | ‹φελλοὶ›] ἐκεῖνοι γὰρ ἐπιπλέοντεϲ ϲημαίνουϲι τὴν ἐν βυθῶι ϲαγήνην· οὕτω καὶ ἡμεῖϲ ζῶντεϲ ϲὲ τὸν θανόντα. |
| 506b | φελλοί· τὰ κοῦφα ξύλα τὰ ἀναβαϲτάζοντα ἐν τῆι θαλάϲϲηι τὰ δίκτυα. |
| 507 | ‹κλωϲτῆρα ... λίνου›] ἐν περιφράϲει τὸν κλωϲτὸν λίνον. |
| 508 | ἄκου᾿] ἀντὶ τοῦ πείϲθητι. |
| 509 | ‹τιμήϲαϲ›] ἀντὶ τοῦ ἐπακούϲαϲ ἡμῶν. |
| 511a | ‹τίμημα›] λείπει ἡ εἰϲ. |
| 511b | ‹ἀνοιμώκτου›] πολυθρυλήτου. |
| 512a | ‹κατώρθωϲαι›] ὦ Ὀρέϲτα. |
| 512b | ‹τὰ δ᾿ ἄλλ᾿›] τὰ κατὰ τὴν ϲφαγὴν Αἰγίϲθου. |
| 514 | ἔξω δρόμου] ἔξω τοῦ προκειμένου. |
| 516a | ‹τιμῶϲ᾿›] ἀντὶ τοῦ τιμῶϲα αὐτή. |
| 516b | ἀνήκεϲτον] ἀνίατον. |
| 517 | ‹θανόντι δ᾿ οὐ φρονοῦντι›] τῶι ὑπ᾿ αὐτῆϲ θανόντι καὶ μὴ φρονοῦντι τὰ αὐτῆϲ. |
| 518 | ‹οὐκ ἔχοιμ᾿›] [οὐ] διϲτάζω ὅτι οὐκ ἐπέμφθη. |
| 519a | ‹μείω δ᾿ ἐϲτὶ›] ἀντὶ τοῦ ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν. |
| 519b | ‹δ᾿›] ὁ δὲ ἀντὶ τοῦ γάρ. |
| 525 | δύϲθεοϲ] ἀϲεβήϲ. |
| 528a | ‹καρανοῦται›] κεφαλαιοῦται. |
| 528b | ‹λόγοϲ›] ἀντὶ τοῦ τὰ ἐφεξῆϲ τοῦ ὀνείρου. |

| | |
|---|---|
| 529a | ‹ἐν cπαργάνοιcι›] ὡc παῖδα αὐτὸν ἐκτεῖναι ἐδόκει ἐν τοῖc cπαργάνοιc. |
| 529b | ‹ὁρμίcαι›] ἀπὸ κοινοῦ τὸ ἔδοξεν. |
| 530a | ‹χρήιζοντα›] πρὸc τὸ δράκοντα εἶπεν τὸ χρήιζοντα. |
| 530b | νεορενὲc] ἀντὶ τοῦ νέον. |
| 532 | ‹cτύγουc›] τοῦ μιcητοῦ θηρίου. |
| 533 | ‹θρόμβον αἵματοc›] ἀντὶ γάλακτοc αἷμα. |
| 534a | ὄψανον· ὄψιc, φαντασία. τὸ χ δὲ ὅτι ἀπὸ τῆc ὄψεωc παρῆξε τὸ ὄψανον. |
| 534b | ‹ὄψανον›] τὸ ἐκ τοῦ ἀνδρὸc Ἀγαμέμνονοc φάντασμα. |
| 536 | ἀνῆλθον] ἀνέλαμψαν. |
| 537 | ‹λαμπτῆρεc›] οἱ cβεcθέντεc ἤδη λαμπτῆρεc· νὺξ γὰρ ἦν. |
| 538 | ‹χοάc›] τὰc πρὸc εὐμένειαν Ἀγαμέμνονοc. |
| 539a | ‹ἄκοc τομαῖον›] θεραπευτικὸν ἴαμα. |
| 539b | ‹ἐλπίcαcα›] λείπει τὸ ποιεῖν, θεράπευμα τμητικὸν τῶν κακῶν οἰηθεῖcα ποιεῖν. |
| 542a | ‹νιν›] αὐτό· τὸ ὄνειρον. |
| 542b | ‹cυγκόλλωc›] cυνημμένωc τῆι ἀληθείαι. |
| 543 | ‹χῶρον›] τὴν γαcτέρα τῆc Κλυταιμήcτραc. |
| 544 | ‹†ηπλείζετο†›] ἐπιμελείαc ἠξιοῦτο. |
| 548-550 | δεῖ τοί νιν ὡc ἔθρεψεν· ὥcπερ δι᾽ αἵματοc ἔθρεψε τὸν δράκοντα–ἔδει γὰρ αὐτὴν θρέψαι τῶι ἰδίωι γάλακτι–οὕτωc δεῖ ‹αὐτὴν› δι᾽ αἵματοc τὴν ἐμὴν ἐπιθυμίαν πληρῶcαι. |
| 549 | ἐκδρακοντωθεὶc] ἀγριωθεὶc κατ᾽ αὐτῆc. |
| 554a | ἁπλοῦc] cύντομοc. |
| 554b | ‹τήνδε›] τὴν Ἠλέκτραν. |
| 556 | ἄνδρα] τὸν Ἀγαμέμνονα. |
| 558 | ‹ἧι›] καθό· τὸ ἑξῆc· ἐφήμιcε τὸ πρίν. |
| 560a | ‹εἰκώc›] οἶμαι ἀντὶ τοῦ ἐοικώc. |
| 560b | παντελῆ] τελείαν. |
| 560c | ‹παντελῆ cαγὴν›] πανοπλίαν ἢ τελείαν περιβολὴν ἔχων ξένου. |
| 563 | ‹φωνὴν›] φονικήν· οἶμαι δὲ Φωκικὴν θέλειν. |
| 566a | ‹δαιμονᾶι›] τετάρακται. |
| 567-568 | ‹μενοῦμεν›] κἂν μὴ δεξιωθῶμεν, μενοῦμεν πρὸ τῶν θυρῶν ἐπὶ τοcοῦτον ὥcτε εἰκάζειν τινὰ ὅτι ἠτιμώθημεν καὶ τοιαῦτα λέγειν. |
| 571 | βηλόν· τὸν οὐδόν. |
| 574-575 | ‹cάφ᾽ ἴcθι›] τὸ ἑξῆc· cάφ᾽ ἴcθι πρὶν αὐτόν. |
| 576 | ‹ποδώκει›] τῶι ταχεῖ ξίφει· ὡc ἐπὶ ἐμψύχου δὲ εἶπεν. |
| 577 | ὑπεcπανιcμένη] οὐκ ἀποτυγχάνουcα. |
| 578 | τρίτην πόcιν] ὡc εἰ ἔφη τοῦ τρίτου κρατῆροc, μετὰ Ἀγαμέμνονα τῶν δύο τούτων τὸ αἷμα. |
| 579 | ‹cὺ›] ὦ Ἠλέκτρα. |
| 580a | ‹ἀρτίκολλα›] cύμφωνα καὶ ὑγιῶc cυναρμοζόμενα ταῖc νεωcτὶ cυνθήκαιc ἡμῶν. |
| 582 | τὰ καίρια] τὰ χρήcιμα. |
| 583 | ‹τούτωι›] τῶι Πυλάδηι. |
| 584 | ὀρθώcαντί μοι] cυμπράξαντί μοι. |
| 586a | ‹δειμάτων ἄχη›] κατὰ περίφραcιν δείματα. |
| 586b | δειμάτων ἄχη] κακῶν κάκιcτα βλάβη. |
| 587 | ἀγκάλαι] αἱ κοιλότητεc. |
| 588 | ἀνταίων] ἐναντίων. |
| 589a | ‹βλάcτουcι›] πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆc ἡλιακῆc ἀκτῖνοc πτηνὰ καὶ ἑρπετά· εἰcὶ γὰρ ὄφειc ἐξ ἀέροc πίπτοντεc. |
| 589b | ‹βλάcτουcι›] γεννῶcι καὶ αὔξουcιν. |
| 589c | ‹πεδαίχμιοι›] αἱ μεταξὺ γῆc καὶ οὐρανοῦ λαμπάδεc, τουτέcτιν ὁ ὑπὸ ἡλίου φωτιζόμενοc ἀήρ. |
| 590a | λαμπάδεc] αἱ ἀκτῖνεc τοῦ ἡλίου αἱ καθημεριναί. |
| 590b | πεδάμαροι] οἶμαι πέδουροι ἵν᾽ ἦι τὸ cημαινόμενον μετέωροι. |
| 592a | ‹αἰγίδων›] καταιγίδων. |
| 592b | φράcαι] ἐννόηcον. |
| 594 | ἀλλ᾽] ὁ ἀλλὰ ἀντὶ τοῦ δέ. |
| 595 | τίc λέγοι φρεcίν· ἀντὶ τοῦ ἐννοήcειεν. |
| 597 | ‹ἔρωταc›] ἀπὸ κοινοῦ τὸ τίc λέγοι. |
| 599 | ὁμαυλίαc] ὁμοκοιτίαc. |
| 600a | ‹θηλυκρατὴc›] ὁ γυναικῶν κρατῶν. λέγει δὲ ταῦτα ὅτι ἡ Κλυταιμήcτρα κατωφερείαc ἕνεκα τῶι Αἰγίcθωι ἐγαμήθη. |
| 600b | ‹ἀπέρωτοc›] ἀντὶ cτυγνὸc καὶ ὑπερήφανοc. |
| 602a | ‹ἴcτω δ᾽ ὅcτιc›] γινωcκέτω δ᾽ ὅcτιc ὁ παιδευθεὶc οὐχ ὑποπτέροιc φροντίcιν, ἵν᾽ ἦι τὸ ὃc ὑποτακτικὸν ἀντὶ τοῦ ὁ προτακτικοῦ. |

602b ‹οὐχ ὑπόπτεροc›] ὁ μὴ κοῦφοc, ἀλλ᾽ ἀληθῶc μαθεῖν θέλων.
603-606 ‹τὰν … πρόνοιαν›] οὕτω τὸ ἑξῆc· ἥντινα μήcατο πρόνοιαν τάλαινα Θεcτιὰc ἡ παιδολύμαc καὶ πυρδαήc.
603 ‹ἁ παιδολύμαc›] ἡ τῶι παιδὶ Μελεάγρωι λυμηναμένη.
607 ‹παιδὸc›] ἥλικα ξύμμετρόν ‹τε› τῶι παιδὶ δαλόν.
608-609 ‹ἐπεὶ … κελάδηcε›] ἐξότε πεcὼν ἀπὸ τῆc μητρὸc ἐβόηcεν, τουτέcτιν ἐξότε γεγέννηται.
608 ἐπεὶ μολὼν] ἀφ᾽ οὗ ἀντὶ ἐξότε.
610 ἥλικα ξύμμετρόν τε· τὸν cυμμετρηθέντα αὐτῶι εἰc τὸ διὰ βίου μοιρόκραντον ἦμαρ, ὅ ἐcτιν εἰc τὸ ἦμαρ τῆc ζωῆc τὸ ὑπὸ Μοιρῶν δεcποζόμενον.
612 ‹cτυγεῖν›] ἀπὸ κοινοῦ τὸ ἴcτω τίc.
615 ‹φῶτ᾽›] τὸν πατέρα Νῖcον.
617 ‹ὅρμοιc›] ‹cημείωcαι› ὅτι ὅρμον ἀπὸ Μίνωόc φηcιν εἰληφέναι Cκύλλαν, οὐ δι᾽ ἔρωτα.
620 ‹ἀπροβούλωc›] ἀπρονοήτωc, οὐ προcκεψαμένη τὸ ἀποβηcόμενον. ὡc προδότιc γὰρ τοῦ πατρὸc ἐτιμωρήθη ὑπὸ Μίνωοc.
621a ‹πνέονθ᾽ … ὕπνωι›] τὸ ἑξῆc· ἀπώλεcεν ἁ κυνόφρων Νῖcον πνέοντα ὕπνωι.
621b πνέονθ᾽] ἀντὶ ἀcθμαίνοντα.
622a κιγχάνει] τὸν Νῖcον ἢ τὴν Cκύλλαν.
622b Ἑρμῆc] ὁ θάνατοc.
623 ἐπεὶ δ᾽] λείπει μνήcομαι Κλυταιμήcτραc.
624a ‹δὲ›] ὁ δὲ ἀντὶ τοῦ γάρ.
624b ‹γαμήλευμ᾽›] τοῦ Αἰγίcθου.
626 ‹μήτιδαc›] λείπει εἰργάcατο.
628 ‹ἐπ᾽ ἀνδρὶ›] ἐπ᾽ ἀνδρὶ φοβερῶι καὶ cεβαcτῶι καὶ παρὰ τοῖc πολεμίοιc.
629 ἀθέρμαντον] ἀθράcυντον· διὰ τὸ θράcοc γὰρ ἄιδονται αἱ Λήμνιαι.
630 ‹αἰχμάν›] λείπει ἡ κατά.
631a πρεcβεύεται] μεῖζον ὀνομάζεται.
631b τὸ Λήμνιον] λείπει ἔργον.
632a λόγωι] ἐν διηγήματι.
632b κατάπτυcτον] μιcητόν.
633 ‹ἤικαcεν δέ τιc›] εἰκονίcειέ τιc.
634 ‹τὸ δεινὸν›] τὸ κατὰ Κλυταιμήcτραν.
635 ‹δ᾽›] ὁ δὲ ἀντὶ τοῦ γάρ.
636 ‹γένοc›] τὸ τῶν Λημνιάδων.
637-640 ‹ἀγείρω … cοῦται›] cυνάξαcα κατηγορῶ· νύccει γάρ με τὸ δίκαιον ταῦτα λέγειν.
639-640 ‹τὸ δ᾽ … cοῦται›] τὸ δὲ ξίφοc τῆc δίκηc, τὸ ἔχον πικρίαν, ἀντικρὺ διὰ πνευμόνων ὁρμᾶι.
640b cοῦται] ὁρμᾶι.
641 ‹τὸ μὴ θέμιc γὰρ›] τὸ γὰρ μὴ δίκαιον οὐ δεῖ ἀμελεῖcθαι οὐδὲ παραcιωπᾶcθαι, ἀλλ᾽ ἐκδικήcεωc τυγχάνειν.
643 πατούμενον] λείπει cυμφέρον ἐcτίν.
644a ‹τὸ πᾶν›] λείπει ὁ γάρ. καὶ ἔcτι· τὸ γὰρ πᾶν τοῦ Διὸc cέβαc παρεξέβηcαν ἀθεμίcτωc οἱ περὶ τὸν Αἴγιcθον.
644b ‹παρεκβάντεc›] ἀντὶ παρεξέβηcαν. καὶ ἔcτι μετοχὴ ἀντὶ ῥήματοc ὡc τὸ καρπῶι βριθομένη.
646 ‹δίκαc δ᾽›] ῥίζα δικαιοcύνηc καταβάλλεται.
648-649 ‹τέκνον … παλαιτέρων›] ἐπειcφέρει δὲ τοῖc οἴκοιc τέκνον παλαιῶν αἱμάτων, ὅ ἐcτι τίκτει ὁ φόνοc ἄλλον φόνον.
648a ‹τέκνον›] ἀντὶ τοῦ ποινήν.
648b ‹†δίμαcε†›] λείπει ἡ ἐπί.
650 ‹τείνει›] ἀπαιτεῖ.
651 ‹κλυτὰ›] ἡ περιβόητοc.
654 ‹τίc ἔνδον›] τίc ἐν δόμοιc;
655 ‹ἐκπέραμα καλῶ›] ἐκπεράcαι τινὰ καλῶ· τὸ ἐκπεραμά φηcι τὸν διάκονον τὸν εἰcιόντα καὶ ἐξιόντα πρὸc τὰc ἀποκρίcειc.
660 ‹νυκτὸc ἄρμ᾽›] περιφρα(cτικῶc) ἡ νύξ.
661 ἐμπόρουc] ὁδοιπόρουc.
662-663 ‹ὥρα … ξένων›] ἐν τοῖc πανδόκοιc δόμοιc τῶν ξένων καιρὸc τὴν ἄγκυραν προcορμῆcαι τοὺc ὁδοιπόρουc· ἀντὶ τοῦ καταλῦcαι.
663 τελεcφόροc] ἀρχηγόc, διοικητήc.
664 ‹εὐπρεπέcτερον›] βέλτιον ἄνδρα ἐξελθεῖν.
665a ‹λέcχηcιν›] ἐν ταῖc πρὸc γυναῖκαc ὁμιλίαιc.
665b ‹ἐπαργέμουc›] cκοτεινοὺc ἀπὸ τῶν περὶ τοὺc ὀφθαλμοὺc λευκωμάτων.
665c οὐκ ἐπαργέμουc] πλεονάζει ἡ οὐ.
671 ‹δικαίων … παρουcία›] ἀντὶ δίκαιοι ἄνθρωποι.
672 ‹βουλιώτερον›] βουλευτικώτερον· ὅ ἐcτιν· εἰ δὲ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι᾽ ἄλλο τι.

674 ‹Δαυλιεὺϲ›] Δαυλὶϲ ὡϲ καὶ Αὐλίϲ.
675 ‹αὐτόφορτον›] ἐπὶ ἰδίαι πραγματείαι.
676 ‹ἀπεζύγην›] τῆϲ ὁδοῦ, τῆϲ ὁδοιπορίαϲ ἀπέλυϲα ἐπὶ τῶι ξενιϲθῆναι παρ᾽ ὑμῖν· ἐκ μεταφορᾶϲ τῶν ἀπολυομένων τοῦ ζυγοῦ ἵππων καὶ ἐπὶ φάτνην ὁρμώντων.
677 ϲυμβαλὼν] ϲυναντήϲαϲ.
678 ‹ἐξιϲτορήϲαϲ καὶ ϲαφηνίϲαϲ›] ἐρωτήϲαϲ καὶ μαθών.
679 ‹πεύθομαι›] ἤκουϲα γὰρ ἐν τῶι μου πρὸϲ αὐτὸν διαλόγωι ὅτι Στρόφιοϲ προϲαγορεύεται.
680a ‹ἐπείπερ›] τὸ ἑξῆϲ· ἀγνὼϲ πρὸϲ ἀγνῶτα εἶπεν· ἐπείπερ, ὦ ξένε. τὰ δὲ ἄλλα διὰ μέϲου.
680b ‹ἄλλωϲ›] δι᾽ ἄλλην χρείαν.
682 μηδαμῶϲ λάθηι] μηδαμῶϲ λάθηι με ἡ βουλὴ τῶν φίλων.
683a ‹κομίζειν›] εἰϲ τοὺϲ οἴκουϲ.
683b φίλων] λέγει δὲ τῶν περὶ Αἴγιϲθον.
685 ‹πόρθμευϲον›] ἀντὶ διακόμιϲον.
688 ‹τοϲαῦτ᾽ ἀκούϲαϲ›] πιθανῶϲ, ἵνα δοκῆι ὅλωϲ ἀγνοεῖν.
692 ὦ δυϲπάλαιϲτε] ὦ δυϲκαταγώνιϲτε.
693a ἐπωπᾶιϲ· ἐφορᾶιϲ πολλὰ τὰ ἡμέτερα ἀτυχήματα.
693b κἀκποδὼν] καὶ τὰ πόρρωθεν καλῶϲ κείμενα τῶν φίλων, ὅ ἐϲτι· τὰ ἐπὶ ξένηϲ ἀγαθὰ ἐνδιαιτήματα τοῦ Ὀρέϲτου τοῖϲ τόξοιϲ εὐϲτόχωϲ ἱκνουμένη ἀπογυμνοῖϲ μοι.
696-699 ‹καὶ νῦν ... ἐγγράφει›] τὸ ἑξῆϲ οὕτωϲ τοῦ νοήματοϲ· καὶ πρότερον ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα. ἦν γὰρ εὐβούλωϲ ἔχων Ὀρέϲτηϲ. ποῖοϲ Ὀρέϲτηϲ; ἡ τοῖϲ οἴκοιϲ ἰατικὴ ἐλπὶϲ τῆϲ ἀγαθῆϲ εὐφροϲύνηϲ. νῦν δὲ ἀπώλετο.
696 καὶ νῦν Ὀρέ(ϲτηϲ)· ἀντὶ τοῦ πρότερον· τὸ γὰρ νῦν δηλοῖ καὶ τὸ παρεληλυθόϲ.
697 ἔξω πηλοῦ πόδ(α)· παροιμ(ία).
698-699 ‹ἥπερ ... ἐγγράφει›] ἡ εὐφροϲύνη τῶν βαϲιλείων οἴχεται.
699a ἰατρὸϲ] ἡ ἰατρόϲ.
699b ἐλπὶϲ] τάξον αὐτὴν ἀφανιϲθεῖϲαν †ἄρα† ὡϲ πρὸϲ τὸ ἐλπὶϲ δ᾽ ἀπέδωκεν.
702-703 ‹τί γὰρ ... εὐμενέϲτερον›] ἢ τὸ ἀγαθὰ ἀγγεῖλαι· τοῦτο γὰρ φιλίαϲ αἴτιον τοῖϲ ξένοιϲ γίνεται.
705 ‹καρανῶϲαι›] κεφαλαιῶϲαι, εἰπεῖν.
707 ‹ἀξίωϲ ϲέθεν›] τῶν ϲοὶ ἀξίων τιμῶν.
709 ‹ἄλλοϲ δ᾽ ὁμοίωϲ›] εἰ καὶ μὴ ϲὺ ἤγγειλαϲ.
710 ‹ἡμερεύονταϲ›] δι᾽ ἡμέραϲ καμόνταϲ.
712 ‹ἄγ᾽›] πρὸϲ παρόντα τινά.
715a ‹αἰνῶ›] ϲυμβουλεύω ϲοι ταῦτα πράϲϲειν ὡϲ δώϲοντι δίκην, ἤν τι παρὰ τὸ δέον ποιήϲηιϲ.
715b ἐπευθύνωι] ὑποδίκωι.
720 ‹πότε›] πότε ἐπευξόμεθα.
722a ‹ὦ πότνια χθὼν›] ὦ προφιλὴϲ καὶ τιμία ἡμῖν.
722b ‹ἀκτὴ›] ἡ ἀκτὴ τοῦ τάφου.
726 ‹νῦν γὰρ ἀκμάζει›] νῦν καιρὸν ἔχει ἡ δολία πειθὼ ϲυναγωνίϲαϲθαι τῶι Ὀρέϲτηι.
727a ‹ἐφοδεῦϲαι›] ϲυνάραϲθαι πρὸϲ τὴν ὁδόν.
727b ‹ἐφοδεῦϲαι›] ἀπὸ κοινοῦ τὸ νῦν ἀκμάζει.
730a ‹ὁ ξένοϲ›] ξένον τὸν Ὀρέϲτην καλεῖ, ἵνα δόξωϲιν ἀγνοεῖν τὸ ϲκευώρημα.
730b ‹τεύχειν κακόν›] ἀντὶ τοῦ πεποιηκέναι πένθοϲ τῶι οἴκωι διὰ τῆϲ ἀγγελίαϲ.
733 ‹ἄμιϲθοϲ›] κακόμιϲθοϲ· δάκρυα γὰρ προξενεῖ. Κίλιϲϲαν δέ φηϲι τὴν Ὀρέϲτου τροφόν, Πίνδ(αροϲ) δὲ Ἀρϲινόην, Στηϲίχο(ροϲ) Λαοδάμειαν.
734 ‹ἡ κρατοῦϲα›] ἡ τοὺϲ ξένουϲ κρατοῦϲα καὶ ὑποδεξαμένη Αἴγιϲθον καλεῖν ἐκέλευϲεν.
736 ‹νεάγγελτον›] τὴν ‹νεωϲτὶ› ἀγγελθεῖϲαν.
740 ‹παγκάκωϲ›] ἀντὶ κακῶϲ ‹ὁ› οἶκοϲ διάκειται ὑπὸ τῆϲ φήμηϲ ἧϲ ἤγγειλαν οἱ ξένοι ϲαφῶϲ.
741 τορῶϲ] ϲαφῶϲ.
742 ‹ἦ›] ἀντὶ ὄντωϲ.
744a ὥϲ] λίαν.
744b ‹τὰ μὲν παλαιὰ›] ἡ κρεουργία τῶν Θυέϲτου παίδων καὶ ὁ Ἀγαμέμνονοϲ θάνατοϲ.
747 ‹τοιόνδε›] οἷον ἐπὶ τῆι τοῦ Ὀρέϲτου ἀγγελίαι νῦν.
748 ‹τλημόνωϲ ἤντλουν›] καρτερικῶϲ ὑπέφερον.
749 ‹τριβήν›] τὸν ϲυντρίψαντά μου ταῖϲ ἐπιμελείαιϲ τὴν ψυχήν.
750 ‹ὃν ἐξέθρεψα›] ὃν ἐξέθρεψα οὐ μόνον δι᾽ ἡμέραϲ, ἀλλὰ καὶ διὰ νυκτῶν.
751 κελευμάτων] κελεύουϲι γὰρ τῶι κλαίειν οἱ παῖδεϲ.
752 ‹ἀνωφέλητα›] ἀνωφέλητα ἐμοὶ τῆι τλάϲηι καὶ πολλὰ ‹καὶ› μοχθηρά.
754 ‹τρέφειν ἀνάγκη›] ἀνάγκη τρέφειν ἐπιμελείαι ψυχῆϲ· πῶϲ γὰρ οὔ;
755 ‹οὐ γάρ›] ἀλλ᾽ ἀνάγκην διὰ δακρύων ἐπέφερεν.
757 ‹αὐτάρκηϲ›] ἡ γὰρ νέα νηδὺϲ τῶν τέκνων ἑαυτῆι ἀρκεῖν καὶ βοηθεῖν βούλεται, ὅ ἐϲτιν ἀνύειν βούλεται τὰϲ ἐπιθυμίαϲ.
759 ‹ψευϲθεῖϲα›] ἀπὸ κοινοῦ τὸ ἐξέθρεψα.

| | |
|---|---|
| 761 | χειρωναξίας· τὰς διὰ χειρῶν ἐργαςίας. |
| 762 | ‹ἐξεδεξάμην›] ἀντὶ ἔθρεψα, ἀπέςωςα. |
| 766 | ‹ἐςταλμένον›] ἠςκημένον, παρεςκευαςμένον. |
| 770 | ‹ςτυγεῖ›] τῶι μιςουμένωι ὑπ’ Ἀγαμέμνονος. |
| 774a | ‹ἦ›] ὄντως. |
| 774b | ‹φρονεῖς εὖ›] χαίρεις. |
| 775 | ‹τροπαίαν›] μετατροπήν. |
| 777 | ‹οὔπω ... τάδε›] τοῦτο ἀκριβοῦς ἐςτι μάντεως εἰπεῖν. τινὲς ςτίζουςιν εἰς τὸ οὔπω, ἵν’ ἦι· οὔπω ἐλπὶς οἴχεται δόμων· ταῦτα δὲ καὶ ὁ τυχὼν μάντις γνοίη. |
| 778 | ‹λελεγμένων δίχα›] ἀντὶ παρὰ τὰ εἰρημένα περὶ Ὀρέςτου. |
| 783 | ‹παραιτουμέναι›] πλεονάζει ἡ παρά· ἢ παρὰ ςοῦ αἰτουμένηι. |
| 785-786 | ‹δὸς ... κυρίως›] δός μοι εὐτυχίαν εὐτυχῆςαι βεβαίως. |
| 787a | ‹διὰ δίκας›] δικαίως. |
| 787b | ‹διὰ δίκας›] κατὰ δίκαν, ὅ ἐςτι κατὰ τὸ δίκαιον. |
| 791-793 | ‹θές ... ἀμείψηι›] ἐπάρας γὰρ τὸν Ὀρέςτην δυνήςηι καὶ τριπλαςίονα ποινὴν εἰςπράξαςθαι τὸν Ὀρέςτην ποιῆςαι. |
| 791 | θές] τὸν Ὀρέςτην. |
| 792 | τριπλᾶ] διπλάςια καὶ τριπλάςια. |
| 794a | ἴςθι] γίγνωςκε. |
| 794b | ἀνδρὸς] τοῦ Ἀγαμέμνονος. |
| 794c | ‹πῶλον›] τὸν Ὀρέςτην. |
| 796 | ‹δρόμωι›] ἐνέμεινε τῆι μεταφορᾶι. φήςας γὰρ ἐν ἅρμαςι πημάτων τὸ δρόμωι ἐπήγαγεν. |
| 797a | ῥυθμὸν δάπεδον· ἀντὶ εὔτακτον καὶ μὴ τραχεῖαν πορείαν. |
| 797b | μέτρον] τέλος αὐτῶι προςτιθεὶς τῶν κακῶν. |
| 798a | ἰδεῖν] ἀντὶ τοῦ ἴδοι. τὸ δὲ ἑξῆς· ἴδοι δέ τις ςωζόμενον αὐτῶι τὸν ῥυθμὸν τοῦ δρόμου· μηδὲ ὑπερδραμὼν ἐν τῶι δαπέδωι διαρρήξηι τὸν χαλινόν. |
| 798b | ἰδεῖν] λείπει τὸ ὅπως· καὶ τὸ ἰδεῖν ἀντὶ τοῦ ἴδοι. ὁ δὲ νοῦς· ὅπως ἄν τις τοῦτο ἴδοι ςωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον κατὰ τὸν δρόμον τῶν ἀνυομένων βημάτων. |
| 801 | νομίζετε] ἡνιοχεῖτε καὶ διοικεῖτε. |
| 806 | ‹γέρων ... τέκοι›] Ἀγαμέμνονος ὁ παλαιὸς φόνος μὴ ςυγχωρήςηι φόνον τῶι Ὀρέςτηι τεχθῆναι διὰ τὸν φόνον Αἰγίςθου. |
| 807a | ‹τόδε καλῶς›] διὰ τοῦτο τὸ καλῶς ἀναιρεθηςόμενον· λέγει δὲ τὸ αἷμα τοῦ Αἰγίςθου. |
| 807b | ὦ] ὦ Αιδη. |
| 808 | ἀνιδεῖν] ἀναβλέψαι. |
| 810 | ‹ἰδεῖν›] ἀπὸ κοινοῦ τὸ δός. |
| 811 | ‹δνοφερᾶς καλύπτρας›] τοῦ ςκότους. |
| 813 | ἐπιφορώτατος] ὡς ἐπὶ ἀνέμου εἶπεν ἀντὶ τοῦ ὁ λογικώτατος. |
| 815a | ‹φανεῖ›] τὰ δὲ κρυπτὰ νῦν φανερώςει. |
| 815b | ‹χρῄζων›] θέλων πολλὰ κρυπτὰ εὑρίςκει. |
| 816a | ἄςκοπον] ἀδιάςκοπός ἐςτιν ὁ λόγος, τουτέςτιν ὁ Ἑρμῆς. ἀδιάγνωςτός ἐςτιν· νύκτα γὰρ καὶ ςκότον πρὸ τοῦ προςώπου φέρει. |
| 816b | ‹ἄςκοπον›] ἀπροφύλακτον. |
| 816c | ‹ἔπος›] τὸν Ἑρμῆν δέ φηςιν· λόγος γάρ ἐςτιν. |
| 819-824 | ‹καὶ ... τάδ’ εὖ›] καὶ τότε δὴ τὸν πλοῦτον τῶν δωμάτων ἐλεύθερον τῆι πόλει μεθήςομεν· ὁμοῦ τε μεθήςομεν τὸν κρεκτὸν γοήτων νόμον, ὅ ἐςτι, καὶ τῶν ἀγαθῶν τῆι πόλει μεταδώςομεν καὶ τὸν Ἀγαμέμνονα ἀκινδύνως θρηνήςομεν. |
| 819 | ‹καὶ τότε›] ὅταν ἀπαλλαγῶμεν. |
| 820 | λυτήριον] ἐλεύθερον· νῦν γὰρ ὑπὸ τυράννων ἀποκέκλειςται. |
| 821a | θῆλυν] γεννητικόν. |
| 821b | οὐριοςτάταν] οὐρίως ςταθέντα. |
| 822 | ‹νόμον›] τὸν τῶν γοήτων οἷον ᾄδουςι περιιόντες τὴν πόλιν. |
| 824-826 | ‹τάδ’ εὖ›] τὰ καλῶς ἀποβαίνοντα τὸ ἐμὸν κέρδος ἐςτίν, τῶν δὲ περὶ Ὀρέςτην καὶ Ἠλέκτραν ἀπαλλαγὴ ἄτης. |
| 827-829a | ‹ςὺ δὲ ... αὐδάν›] ςὺ δὲ θαρρῶν ἐμοὶ τέκνον θροούςηι πρὸς ςὲ πατρὸς αὐδάν, ὅ ἐςτιν, ὡςανεὶ πατὴρ ςυμβουλεύοι ςοι, ὅταν ἥκηι καιρός, ἔργωι ἐπιβαλοῦ ἐπικαλεςάμενος τὸ εἴδωλον τοῦ πατρός. |
| 827-829b | ‹ςὺ δὲ ... αὐδάν›] πρόςεχε δὲ κἀμοὶ ςυμβουλευούςηι ςοι οἷα ἂν πατήρ. τὸ δὲ ἐπαΰςας πατρὸς ἔργωι ἀντὶ τοῦ ἐπικαλεςάμενος τὸ εἴδωλον τοῦ πατρός. |
| 827a | ‹ςὺ δὲ›] ὦ Ὀρέςτα. |
| 827b | ‹μέρος ἔργων›] ὁ καιρὸς τοῦ ἔργου. |
| 827c | ‹μέρος ἔργων›] λείπει ἐπιβαλοῦ. |
| 828 | ‹ἐπαΰςας›] ἐπικαλεςάμενος. |

| | |
|---|---|
| 830-832 | ‹περαίνων ... ἄταν›] κατεργασάμενος τὴν πολλῶν μέμψεων ἀξίαν ἄτην, ὅ ἐστι, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμήστραν. Περσέως δὲ ἀντὶ τοῦ πορθητοῦ, ἢ ἐπεὶ ἀπεστραμμένος ἐκαρατόμησε Μέδουσαν· ἀποστραφείς, φησίν, ὡς ἐκεῖνος μήπως θεώμενος αἰδεσθῆις τὴν μητέρα. |
| 835-836 | ‹ἔνδοθεν ... τιθείς›] τὴν ἔνδον ἐπὶ τῆς οἰκίας φονίαν ἄτην καταβαλών, ὅ ἐστι τὴν Κλυταιμήστραν. |
| 835 | ‹ἔνδοθεν›] ἐν τῆι ψυχῆι. |
| 836 | ‹τὸν αἴτιον›] τὸν Αἴγισθον. |
| 841 | ‹μόρον γ᾽ Ὀρέστου›] ὑπούλως ταῦτά φησι. |
| 842a | ‹αἱματοσταγὲς›] ὡς ἐπὶ μαχαίρας. |
| 842b | ‹φόνωι›] τῶι τοῦ Ἀγαμέμνονος. |
| 843a | ‹ἑλκαίνοντι›] ἐν γὰρ τοῖς θρήνοις ἀμύσσουσιν αὐτῶν τὰ στήθη. |
| 843b | ‹δεδηγμένωι›] οὐ παρακαλυφθέντι, ἀλλ᾽ ἀειμνήστωι. |
| 846 | ‹μάτην›] οὐκ ἀληθῶς ἀποθανόντες. |
| 849 | ‹οὐδὲν ... σθένος›] οὐ τοσοῦτον ἰσχύει εἰπεῖν ἄγγελος ὡς ὁ αὐτόπτης. |
| 854 | ‹ὠμματωμένην›] τὴν συνετήν μου φρένα. |
| 855 | ‹Ζεῦ Ζεῦ›] ταῦτά φησιν ὁ χορὸς εἰσελθόντος τοῦ Αἰγίσθου. |
| 858 | ‹ἴσον›] τὸ ἀληθές. |
| 860a | πειραί· αἱ ἀκμαὶ τῶν ξιφῶν παρὰ τὸ πείρειν. κοπάνων δὲ τῶν κοπτικῶν ξιφῶν. |
| 860b | κοπάνων] τῶν συγκοπῶν. |
| 863 | ‹πῦρ›] πῦρ δαΐδων. |
| 870 | ‹ἔα ἔα μάλα›] φωνῆς ἀκούουσιν ἀναιρομένου τοῦ Αἰγίσθου. |
| 878 | ‹πύλας›] τὰς τῆς Κλυταιμήστρας. |
| 879 | ‹ἡβῶντος δὲ δεῖ›] ἡβῶντος ἀνδρὸς δεῖ εἰς τὸ χαλάσαι τὰς πύλας. |
| 880 | ‹διαπεπραγμένωι›] τῶι σφαγέντι. |
| 886 | ‹τὸν ζῶντα ... λέγω›] ἀντὶ ὁ τῶι λόγωι τεθνηκὼς Ὀρέστης ἀπέκτεινε τὸν ζῶντα Αἴγισθον. |
| 893 | ‹Αἰγίσθου βία›] ἀντὶ τοῦ ὦ Αἴγισθε. |
| 898 | οὔλοισι· τὸ οὖλον. |
| 899 | μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην ἵνα μὴ δ´ λέγωσιν. |
| 901 | ‹εὐορκώματα›] τὰ ὁρκωμόσια ἃ συνωμόσαμεν. |
| 902 | ‹ἅπαντας ... πλέον›] πλέον λέγε πάντας ἀνθρώπους ἔχειν ‹ἢ› τοὺς θεοὺς ἐχθρούς. |
| 904 | ‹πρὸς αὐτὸν›] πρὸς αὐτὸν τὸν Αἴγισθον. πιθανῶς δὲ ἵνα μὴ ἐν φανερῶι ἡ ἀναίρεσις γένηται. |
| 908 | γηράναι· ἀπὸ τοῦ γήρημι. |
| 914 | οὔτοι] οὐκ ἔστιν ἀπορρίψαι τὸ δορυξένοις ἐκδοῦναι πρὸς ἀνατροφήν. |
| 917a | ‹σου›] ἑτέρωι συγκοιμωμένης. |
| 917b | ‹τοῦτ᾽›] τὸν Αἴγισθόν φησιν. |
| 918 | ‹εἴφ᾽›] ὅτι Κασάνδραν ἐπέγημεν. |
| 919 | ‹μὴ ἔλεγχε›] ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν γυνὴ οὖσα. |
| 924 | ‹κύνας›] τὰς Ἐρινύας. |
| 926 | ‹πρὸς τύμβον›] ὅτι μέλλω τελευτᾶν· παροιμ(ίαν) εἶναι τοῦτό φασι πρὸς τύμβον κλαίειν, ἤγουν πρὸς ἄνδρα νήπιον. |
| 931 | ‹στένω›] εὐγνωμόνως ἐλεοῦσι τοὺς περὶ Αἴγισθον. |
| 932a | ἐπήκρισεν] ἐπ᾽ ἄκρον ἦλθεν. |
| 938 | ‹διπλοῦς λέων›] οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. |
| 939 | ‹ἐς τὸ πᾶν›] ἤλασεν δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν ἤνυσε τὸν ἀγῶνα. ἀφίκετο, φησί, εἰς τὸ τέλος τοῦ ἀγῶνος. |
| 940 | ‹πυθόχρηστος›] ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης. |
| 942-943 | ‹δόμων ἀναφυγὰς κακῶν›] ὡς τῶν οἴκων φυγόντων τὰς συντριβὰς [τῶν οἴκων]. |
| 945a | δυσοίμου· δυσπορεύτου. τὸ δὲ ἑξῆς· τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ τῆς δυσοίμου τύχης. |
| 946 | ἔμολε] τῶι Αἰγίσθωι ἔμολεν ἡ ποινὴ τῶι ἀποκτείναντι δόλωι τὸν Ἀγαμέμνονα. |
| 948 | ἔθιγε] ἡ δὲ Διὸς θυγάτηρ ἡ Δίκη παρέστη ἐν τῆι πρὸς Αἴγισθον μάχηι καὶ ἐφήψατο τοῦ ξίφους· δικαίως γὰρ Ὀρέστης ἠμύνατο. |
| 952 | τὸ ἑξῆς· ἔμολεν ὀλέθριον πνέουσα. |
| 953 | ‹τάπερ›] ἀντὶ τοῦ καθάπερ. |
| 955-956 | ‹δολίας ... ἐποίχεται›] τὴν Κλυταιμήστραν τὴν δολίως βλάπτουσαν καὶ ἐπὶ πολὺν χρόνον τὸν οἶκον ἐποίχεται ἡ δίκη· ‹ἢ› ἐπεξῆλθε τὴν δίκην βλαπτομένην ἐκ πολλοῦ Ὀρέστης. |
| 958 | ‹κρατεῖται›] συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς. |
| 960 | ‹ἀρχὰν›] τοὺς θεοὺς ἢ τὸν Δία. |
| 962 | ψάλιον] τὸν χαλινόν. |
| 965-967 | ‹παντελὴς ... ἐλάσηι›] ὁ πάντα τελῶν χρόνος τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα. |
| 965 | ἀμείψεται] ἀλλαγήσεται· οὐχ ὁμοίως ἔσται τοῖς πρώην ἐν τῶι οἴκωι ἡμῶν. |
| 968a | ἐλατήριον] τὸ ἐλαῦνον τοὺς ἀσεβεῖς ἢ τὸ ἀπελαθῆναι ὀφεῖλον. |
| 968b | ἐλατήριον [δὲ] τὸ καθαρτικὸν φάρμακον. |

| | |
|---|---|
| 969 | ‹τύχαι›] ἡ δὲ τύχη νῦν ἐν εὐόπτωι κοίτηι, τουτέcτιν ἐν ἀγαθῆι καταcτάcει πρὸc τὸ ἰδεῖν τὰ νῦν γεγονότα καὶ ἑτέρων λεγόντων ἀκοῦcαι. |
| 970 | ‹ἰδεῖν›] λείπει τὸ ἐcτίν. |
| 971 | ‹μέτοικοι ... πάλιν›] οἱ νῦν τοὺc δόμουc οἰκοῦντεc πεcοῦνται εἰc τὸ ἔμπαλιν τῆc πρώτηc τύχηc· τοῦτο δὲ ἀπὸ τῶν κύβων μετήγαγεν. |
| 973 | ἀνοίγεται ἡ cκηνὴ καὶ ἐπὶ ἐκκυκλήματοc ὁρᾶται τὰ cώματα ἃ λέγει διπλῆν τυραννίδα. |
| 978 | ξυνώμοcαν· θάνατον τῶι πατρί. |
| 981 | ‹δεcμὸν›] τὸν πέπλον. |
| 983 | ‹ἐκτείνατ᾽›] πρὸc τὸν χορόν. |
| 987a | ‹μοι›] ἡ μοι ἀντωνυ(μία) τὴν οἰκειότητα δηλοῖ. |
| 987b | ‹ἐν δίκηι›] ἐν τῆι κρίcει τῶν Ἐρινύων. |
| 989 | ‹Αἰγίcθου ... μόρον›] Αἰγίcθου γὰρ οὐ λέγω μόρον, μητρὸc δέ, ἥτιc ἐπ᾽ ἀνδρὶ τοῦτ᾽ ἐμήcατο cτύγοc. |
| 992 | ‹βάροc›] τὸ βάροc φίλον πρώην. |
| 995 | ‹θιγοῦcαν›] ὑπερβολή, ὅτι καὶ τὸν μὴ δηχθέντα ἀλλὰ μόνον ἀψάμενον cήπει. |
| 997 | ‹τύχω›] ἀντὶ ἐπιτύχω εὐθίκτωc κακολογήcαc. |
| 998 | ‹ἄγρευμα›] δίκτυον. |
| 999 | ‹καταcκήνωμα›] παραπέταcμα cοροῦ. |
| 1000 | ‹ποδιcτῆραc›] τοὺc πλέον τῶν ποδῶν καθήκονταc. |
| 1002 | ἀπαιόλημα] ἀπάτημα. |
| 1009 | ‹μίμνοντι›] τῶι τοιαῦτα πράξαντι χρόνωι πάθοc ἀνθεῖ. |
| 1012 | ‹φόνου›] τοῦ αἵματοc. |
| 1013 | ‹φθείρουcα›] ὡc πολυτελοῦc ὄντοc τοῦ ἱματίου καὶ ἠφανιcμένου τῶι αἵματι. |
| 1019a | ‹διὰ›] ἡ διὰ πρὸc τὸ ἀμείψεται. |
| 1019b | ἄτιμοc· ἀτιμώρητοc. |
| 1021 | ‹ὅπη τελεῖ›] εἰc τί ἀποβαίνει τὰ κατ᾽ ἐμέ; |
| 1024 | ‹δύcαρκτοι›] δυcχερῶc ἀρχόμεναι καὶ πειθόμεναι. |
| 1028 | ‹μίαcμα›] τὴν μητέρα. |
| 1029-1030 | ‹φίλτρα ... χρήcαντ᾽ ἐμοί›] καὶ τὰc ἐπιθυμίαc τῆc τόλμηc φημὶ τὸν Ἀπόλλωνα χρῆcαί μοι. |
| 1029 | πλειcτηρίζομαι] καυχῶμαι. |
| 1033 | ‹οὔτιc ... ἐφίξεται›] τοcαύτη γάρ ἐcτιν ὡc μηδὲ τοξότην ἐφικέcθαι τοῦ μήκουc. |
| 1037 | ‹τόδ᾽›] τὸ ἐν Παρναccῶι. |
| 1064 | εὐκαίροιc] cυντυχίαιc. |
| 1067a | γονίαc· ἄνεμοc ὅταν ἐξ εὐδίαc κινηθῆι χαλεπὸν πνεῦμα. : ⁚ |